www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ
# ΗΡΑΚΛΕΙΔΙΟΝ,
# ΠΡΩΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΤΑΜΑΣΟΥ

*(οὗ ἡ μνήμη τῇ ιζ΄ Σεπτεμβρίου)*

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

*ϙβς΄ * 2006 *

www.tezaurliturgic.ro





## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΗΡΑΚΛΕΙΔΙΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΤΑΜΑΣΟΥ ΤΗΣ ΚΥΠΡΟΥ

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου·καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*εἶτα, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄ Ὁ Ὑψωθείς.*

Ἁλιευθεὶς ὥσπερ ἰχθὺς ἐκ τοῦ Παύλου,
καὶ φωτισθεὶς τῇ τοῦ Κυρίου ἐλλάμψει,
πρῶτος ποιμὴν τῆς πόλεως ἐγένου Ταμασοῦ,
ὅθεν κεχαρίτωσαι,
διὰ πλείστων σημείων,
καὶ τὸ στέφος εἴληφας,
μαρτυρίου ἐν τέλει.
Διὸ Χριστὸν δυσώπει ἐκτενῶς,
ὑπὲρ τῆς Κύπρου,
σοφὲ Ἡρακλείδιε.

*Δόξα. Ὅμοιον.*

Τοῦ μαρτυρίου τὴν ὁδὸν διανύσας,
καὶ αἵματί σου Ταμασοῦ γῆν φοινίξας,
ἐπότισας καὶ ηὔξησας τὸ δένδρον τοῦ Χριστοῦ,
ὅθεν, Ἡρακλείδιε,
τὴν ἁγίαν Μονήν σου,
σκέπε καὶ ἐπάρδευε,
πατρικαῖς ἱκεσίαις,
μοναζουσῶν καρδίας μυστικῶς,
ἃς ἀναδείξαις,
δοχεῖα τῆς Χάριτος.

*Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων,
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους,
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
«Σκέπε, Ἡρακλείδιε, ἁγίων νῆσον Κύπρον. Ἀ(θανάσιος)».

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Σὰ τέκνα ὑπάρχουσαι ταπεινά,
προσπίπτομεν πόθῳ,
Ἡρακλείδιε θαυμαστέ,
λειψάνων σου θήκῃ ἐξαιτοῦσαι,
τὴν πατρικήν σου ἐν πᾶσι βοήθειαν.

Καρδίαν ἀνοίξας τῷ Ἰησοῦ,
ἐδέξω τὴν κλῆσιν,
Ἡρακλείδιε, θαυμαστῶς,
τοῦ Παύλου πεισθεὶς διδασκαλίᾳ,
μεθ’ οὗ Μονήν σου ἀεὶ περισκέπετε.

Εἰδώλων μισήσας σκότος βαθύ,
φωτὶ τοῦ Κυρίου,
ἐφωτίσθης ὁλοτελῶς,
διό, Ἡρακλείδιε, σῶν τέκνων,
τὸν νοῦν Χριστοῦ τῇ ἐλλάμψει καταύγασον.

*Θεοτοκίον*

Ποθοῦσαι τὸ πρόσωπον Ἰησοῦ,
συνήχθημεν ὧδε,
εἰς ἓν σῶμα θεοπρεπές,
αἰτούμεναι θείαν σου πρεσβείαν,
Παρθενομῆτορ, ἀεὶ πρὸς τὸν Κύριον.

*ᾨδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Ἑλκυσθεὶς ὑπὸ Παύλου,
τοὺς σοὺς γονεῖς εἵλκυσας,
πρὸς τὸ φῶς Κυρίου πανσόφως,
ὦ Ἡρακλείδιε,
ὅθεν ἐφέλκυε,
πρὸς τοῦ Δεσπότου ἀγάπην,
καὶ ἡμᾶς τὰ τέκνα σου,
πάτερ φιλόστοργε.

Ἡδονὴν ἐλογίζου,
τοὺς διωγμούς, Ἅγιε,
καὶ τοῦ μαρτυρίου τὰ πάθη,
διὰ τὸν Κύριον,
διὸ ἐμφύτευσον,
τῶν σῶν τεκνίων καρδίας,
τὸν πρός τὸ μαρτύριον,
ἔνθεον ἔρωτα.

Ῥήμασί σου ἐκθρέψας,
Ταμασιεῖς, Ἅγιε,
τούτους καρποφόρα ὡς δένδρα,
Χριστῷ ἀνέδειξας·
ἡμᾶς δὲ αὔξησον,
ταῖς μυστικαῖς σου πρεσβείαις,
ὅπως ἀποδώσωμεν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καρποὺς τοῦ Πνεύματος.

*Θεοτοκίον*

Ἁγνοτάτως τεκοῦσα,
τὸν τοῦ παντὸς αἴτιον,
δῶρον τῆς ἁγνείας, Παρθένε,
κόσμῳ εἰσήγαγες,
ὃ ἐκλεξάμεναι,
Ἡρακλειδίου τὰ τέκνα,
ἔχομέν σε πρότυπον,
ἐν βίῳ ἅπαντι.

*Κάθισμα. Ἦχος β'. Πρεσβείαν θερμήν.*

Χριστοῦ τὴν ὁδόν,
βαδίσας, Ἡρακλείδιε,
μαρτύρων χορῷ,
ἀξίως συνηρίθμησαι,
καὶ χαρίζῃ πάντοτε,
τοῖς τιμῶσί σου θεῖα λείψανα,
ἀπαλλαγὴν ἐκ τῶν παθῶν,
ψυχῆς ὁμοῦ τε καὶ σώματος.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Κλεῖδα θείαν πλουτήσασαι,
τὰς πρὸς τὸν Δεσπότην θερμὰς πρεσβείας σου,
Ἡρακλείδιε, ἐλπίζομεν,
εἰσελθεῖν εὐκόλως εἰς Παράδεισον.

Λυσσωδῶς πολεμήσας σε,
ὁ εἰδώλων πλάνην διδάξας, Ἅγιε,
ὡς στρουθίον ἐκνενίκηται,
ὃν ποσὶν ἡμῶν δεῖξον ὑπόσπονδον.

Ἐν δυνάμει τοῦ Πνεύματος,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

θαύματα ἐτέλεσας, Ἡρακλείδιε,
διὸ χάριν σου ἐπίδειξον,
τοῖς ἀσπαζομένοις θείαν κάραν σου.

*Θεοτοκίον*

Ἰατρὸν ἀπεκύησας,
τὸν φιλανθρωπότατον, Μῆτερ, Κύριον,
Ὃν πρεσβεύουσα ἀείποτε,
ἴασαι ψυχῶν ἡμῶν τὰ τραύματα.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Δώδεκα θεῶν,
ἀπελέγξας, Ἡρακλείδιε,
πλάνην ἡμᾶς ἐκ τῆς λατρείας τῶν παθῶν,
ταῖς εὐχαῖς σου,
ἐλευθέρωσον ὡς τάχιστα.

Ἱεροπρεπῶς,
ἐθυσίασας μακάριε,
σεαὺτὸν Κυρίῳ, Ὃν ἠγάπησας,
διὸ δεῖξον,
καὶ ἡμᾶς θύματα ἄμωμα.

Ἔδειξας σοφῶς,
τοῦ φωτὸς τέκνα φιλόθεα,
τοὺς πρὶν κειμένους ἐν ἀγνοίας τῇ νυκτί,
ἐξ ἧς ἐκλύτρου,
τὴν σὴν ποίμνην, Ἡρακλείδιε.

*Θεοτοκίον*

Ἅπασαν ἡμῶν,
τὴν ἐλπίδα ἀνεθέμεθα,
σοὶ τῶν παρθένων φιλοστόργῳ ἀῤῥωγῷ,

ὅθεν, Παρθένε,
τὰς ψυχὰς ἡμῶν ἐνίσχυε.

*Ὠιδὴ Ϛ΄. Τὴν δέησιν ἐκχεῶ.*

Γεώργιον,
ἀκανθῶν πλῆρες εὑράμενος,
Ταμασέων, Ἡρακλείδιε, πόλιν,
ταύτην Χριστῷ,
ἀμπελῶνα χαρίτων,
ταῖς διδαχαῖς σου πανσόφως ἀνέδειξας,
διὸ καὶ θείαν σου Μονήν,
εὐκαρποῦσαν ἀνάδειξον ἄμπελον.

Ἰάτρευσας,
ἀσθενείας σώματος,
Ἡρακλείδιε καὶ πάθη ποικίλα,
δύναμιν γάρ,
τοῦ Κυρίου πλουτήσας,
τὴν ἱερὰν Αὐτοῦ κλῆσιν ὡς φάρμακον,
ἐφεῦρες ἥνπερ καὶ ἡμῖν,
ἀλεξίκακον χάρισαι δώρημα.

Ὡς γέγραπται,
κεφαλὰς συνέτριψας,
τῶν δαιμόνων, Ἡρακλείδιε πάτερ,
ὅλος γὰρ πῦρ,
τῆς ἀγάπης Κυρίου,
ἀναδειχθεὶς ὡς ἀθύρματα ἔκαυσας,
ἐνέδρας τούτων καὶ ὁρμάς,
ὧν ἡμᾶς διατήρει ἀπήμονας.

*Θεοτοκίον*

Νοῦν οἴκημα,
Ἰησοῦ ἀνάδειξον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δι᾽ εὐχῆς σῶν θυγατέρων, Παρθένε,
τοὺς γλυκασμούς,
πηγαζούσης ἀφθόνως,
καὶ μυστικῶς συναπτούσης πρὸς Κύριον,
δι᾽ Ὃν τοῦ Σχήματος σταυρόν,
φιλοτίμως ἐπ᾽ ὤμων βαστάζομεν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ἡρακλείδιε, Μονῆς σου θησαύρισμα,
καὶ τῆς Κύπρου ἁπάσης ὑπέρμαχε,
δέξαι τέκνων,
τῶν ταπεινῶν ἱκέσιον φωνήν,
καὶ δός,
τὴν ἐκπλήρωσιν εὐχῶν,
τείνων εὐήκοον τὸ οὖς,
πρὸς Χριστοῦ εὐαρέστησιν·
κάθαρον διανοίας,
ταύτας δεικνὺς Κυρίου,
θυσιαστήρια σεμνά,
καὶ εὐχῆς κατοικητήρια.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν .*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Ματθαῖον(5,14-19)*

Εἶπεν ὁ Κύριος· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται· ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ᾿ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἱεράρχου.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Εἴδωλα κατέπτυσας,
δεχθεὶς τὸ φῶς τοῦ Δεσπότου,
καὶ διὰ βαπτίσματος,
ὑπὸ Παύλου γέγονας, Ἡρακλείδιε,
ἱεράρχης ὅσιος,
Ταμασέων ἔνθα,
ἐν τοῖς θαύμασι διέπρεψας,
καὶ στέφος εἴληφας,
θείου μαρτυρίου τρισόλβιε·
ἐκ τάφου δὲ ἰάματα,
ἔκτοτε πηγάζεις ἑκάστοτε.
Ὅθεν ἱεράν σου,
Μονὴν περιφυλάττοις ἀβλαβῆ,
καὶ μοναζούσας ἐνίσχυε,
εἰς ὁδὸν ἀσκήσεως.

www.tezaurliturgic.ro


## Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Νοσοῦντας θεραπεύεις,
Ἡρακλείδιε πάτερ, πόθῳ προσπίπτοντας,
σῇ κάρᾳ τῇ τιμίᾳ,
ἣν πλοῦτον ἐδωρήσω,
τῇ Μονῇ σου οὐράνιον,
ἀνεκφοιτήτως Χριστοῦ,
ἐκχέουσαν τὴν χάριν.

Ἡ τοῦ σώματος καῦσις,
ὡς θυσία εὐώδης Χριστῷ ἐνήνεκται·
διὸ καὶ καταφλέγει,
δαιμόνων τὴν κακίαν,
Ἡρακλείδιε ἔνδοξε,
ἡ ἱερὰ κεφαλή,
ἐν τῇ σεπτῇ Μονῇ σου.

Σοὺς κόπους καὶ ἱδρῶτας,
ὁ Δεσπότης βραβεύσας, ὦ Ἡρακλείδιε,
θαυμάτων δέδωκέ σοι,
τὴν χάριν ὥσπερ δῶρον,
καὶ τῆς δόξης σου πίστωσιν,
ἣν ἐν τῷ ἄνω Σιών,
ἀπέλαβες ἀξίως.

### Θεοτοκίον

Οὐδὲν τῶν ἐπιγείων,
ἀγαθῶν ὑπερβαίνει, Ἁγνή, γλυκύτητα,
Υἱοῦ σου παμφιλτάτου,
ἧς τοῦ Ἡρακλειδίου,
μοναστρίας ἀξίωσον,
ἵνα βοῶμεν ἀεί,
σοὶ τοῦ ἀγγέλου Χαῖρε.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Νίκην παράσχου,
ὑπακοὴν ἐξασκούσαις,
Ἡρακλείδιε, Μονῆς σου μοναστρίαις,
καὶ ἐπιποθούσαις,
μιμεῖσθαι τὸν Δεσπότην.

Κόπτε τὰς ῥίζας,
ἐγωϊσμοῦ ψυχοφθόρου,
καὶ ταπείνωσιν παράσχου τοῖς σοῖς τέκνοις,
ἣν ὁ Θεὸς Λόγος,
Ἅγιε, ἐνεδύθη.

Ὑπὸ τὴν σκέπην,
τῶν πατρικῶν σου πτερύγων,
συναθροίσας ἡμᾶς ἐν τῇ Μονῇ σου,
τήρει ἡνωμένας,
φιλαδελφίᾳ, Πάτερ.

*Θεοτοκίον*

Πατρὶ τιμίῳ,
καὶ Γεροντίσσῃ ὁσίᾳ,
συναρμόσασα ἡμᾶς, Ἁγνὴ Παρθένε,
σὺν Ἡρακλειδίῳ,
εὐλόγει φιλοστόργως.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ῥῦσαι πατρίδα Κύπρον,
πάσης ἐπηρείας,
ἀντικειμένου, κλεινὲ Ἡρακλείδιε,
καὶ ταύτην δεῖξον Ἁγίων,
νῆσον ὡς κέκληται.

Ὁσίων βίον ἔχειν,
τὰς σὰς μοναστρίας,
ὦ Ἡρακλείδιε πάτερ, ἀξίωσον,
ὅπως ὑμνῶμεν ἀπαύστως,
μνήμην ἁγίαν σου.

Ναὸς Χριστοῦ ὑπάρχων,
οἴκους χριστοφόρους,
ἡμᾶς ἀξίωσον εἶναι ἀείποτε,
τὰς τὴν Μονήν σου οἰκούσας,
ὦ Ἡρακλείδιε.

*Θεοτοκίον*

Ἀξίωσον, Παρθένε,
τοῦ Ἡρακλειδίου,
τὴν κληρουχίαν θεώσεως τεύξασθαι,
καὶ σὺν φρονίμοις παρθένοις,
εὑρεῖν Παράδεισον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβείμ,
καὶ ἐνδοξωτέραν,
ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

*καὶ τὰ Μεγαλυνάρια*

Χαίροις Ἡρακλείδιε ἱερέ,
Ταμασέων κλέος,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τῆς Κύπρου πάσης φωστήρ,
τῆς δὲ ἱερᾶς σου,
Μονῆς θεῖος προστάτης,
παρέχων παρακλήσεις,
ταῖς μοναστρίαις σου.

Κάραν προσκυνοῦμέν σου ἱεράν,
θήκην θεοφόρον,
γενομένην ἐν τῇ ζωῇ,
νῦν δὲ βρύσιν θείαν,
τοῦ Πνεύματος χαρίτων,
πιστοῖς ἀναφανεῖσαν,
ὦ Ἡρακλείδιε.

Τῶν εἰδώλων ἔφυς ὀλοθρευτής,
καὶ τῆς ἀληθείας,
τοῦ Κυρίου ὑφηγητής,
ὅθεν ἐκ καρδίας,
ἐξόρισον σῶν τέκνων,
εἰδωλικὴν λατρείαν,
παθῶν, τρισόλβιε.

Χάριν δίδου, Πάτερ, πνευματικήν,
Γέροντι τιμίῳ,
Γεροντίσσῃ τε σεμνῇ,
ὅπως φιλοθέως,
σὴν ποίμνην ὁδηγῶσιν,
εἰς ἄνω Βασιλείαν,
καὶ πρὸς τὴν θέωσιν.

Παῦλε καὶ Βαρνάβα, Κύπρου κλεινῆς,
πρὸς Χριστὸν οἱ πρῶτοι,
ὄντες θεῖοι νυμφαγωγοί,
σὺν Ἡρακλειδίῳ,
καὶ Μύρωνι ἁγίῳ,
Μονὴν ἡμῶν τηρεῖτε,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀδιαλώβητον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β.᾿ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Πάτερ Ἡρακλείδιε, Μονήν,
ἔνθα σὸς πανίερος τάφος,
καὶ ἡ σεπτὴ κεφαλή,
εὕρηνται ἁγίασον,
ταῖς ἱεραῖς σου εὐχαῖς·
μοναστρίας δὲ στήριξον,
καλῶς ἀσκουμένας,
καὶ τὰς πύλας ἄνοιξον τοῦ Παραδείσου αὐταῖς·
ὅπου μετὰ πάντων Ἁγίων,
ὄψονται τὴν δόξαν Κυρίου,
ἣν σὺ καθορᾷς χριστομακάριστε.

*Δέσποινα πρόσδεξαι.*
*Τὴν πᾶσαν ἐλπίδα μου.*
*Δι᾽ εὐχῶν.*

## *Στίχοι*

*Εἰδωλοθρῦπτα, Ἡρακλείδιε πάτερ,*
*Μονήν σου τήρει ἐν Χριστῷ εὐκαρποῦσαν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ